# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ*

ΥΠΟ
ΠΑΝΑΓΙΩΤΟΥ Ν. ΤΡΕΜΠΕΛΑ
Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Προκείμενον ἦχος δ′ (Υ ***Κ ἅ Ψ Ο*** ἦχος γ′)

Κύριος φωτισμός μου καὶ σωτήρ μου

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα (κεφ. β 11)

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι᾿ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾿ αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τουτέστι τὸν διάβολον καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ἀλληλούϊα. Ἐξηρεύξατο ἡ καρδία μου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην (κεφ. ε 1).

Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ καὶ ἐτάραττε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

***Ψ*** Εἶτα ἄρχεται τὰ εἰρηνικὰ λέγων

***Λ*** Καὶ εὐθὺς τὴν συναπτὴν Λ καὶ εὐθὺς τὰ εἰρηνικὰ

---

* Συνέχεια ἐκ τοῦ προηγουμένου τεύχους σελ. 241.

Ἐν τοῖς Γ ***Δ Η*** παραλειπομένων τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου εὐθὺς μετὰ τὸ Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς ἐπακολουθοῦσι τὰ εἰρηνικά. Ἀπόστολος καὶ Εὐαγγέλιον παρὰ τοῖς Ω ***Κ Λ*** Λ Ψ Υ ***Ο Π*** ᾶ ᾶ μ ἅ ϱ ἅ χ.

Χ Καὶ εὐθὺς ὁ διάκονος τὰ εἰρηνικὰ θυμιῶν καὶ τὴν κολυμβήθραν.

| | |
|---|---|
| ***ΓΔΗΚ*** Ϙ***Δ***Λ***ΨΟ***Υ | Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν<br>Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.<br>Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.<br>Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. |
| ***Δ***Ϙ***Ο*** | Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. |
| ΓϘ***Ο*** | Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων.<br>Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπό.<br>Ὑπὲρ τῆς πόλεως ταύτης. |
| Γ***Ο*** | Ὑπὲρ εὐκρασίας ἀέρων. |
| ΓϘ***Ο*** | Ὑπὲρ πλεόντων. |
| ***Δ***Γ***ΔΗ***Ϙ***Κ***Υ Λ***ΨΟ*** | Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν. |
| ***ΗΚ***Ϙ***Δ***Λ***Ο***Υ | Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου τοῦ Κυρίου δεηθῶμεν. |
| Ϙ***Κ***Λ***Ψ***Υ | Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικὴν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν. |
| ***ΔΗΚΟΔ***ϘΛ***Ψ***Υ | Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως. |

---

Ὁ Ϙ ἀντὶ τοῦ Ὑπὲρ τοῦ ἁγίου οἴκου τὸ Ὑπὲρ τοῦ οἴκου τούτου καὶ τῶν κατοικούντων ἐν αὐτῷ τοῦ Κυρίου δ.

Ὁ Γ μετὰ τὸ ὑπὲρ πλεόντων «Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ».

Ὁ ***Δ*** μετὰ τὸ «Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου» τὸ «Ὑπὲρ τοῦ ἁγιασθῆναι». Οἱ ***Η Κ Λ Δ Ψ*** μετὰ τὸ Ὑπὲρ τοῦ ἁγίου οἴκου εὐθὺς τὸ Ὑπὲρ τοῦ ἁγιασθῆναι.
τοῦτο τῇ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ τοῦ ἁγ. Πν. ***Δ Η***
τῇ ἐπιφ. καὶ δυνάμ. καὶ ἐνερ. Ϙ

Ὁ ***Ο*** μετὰ τὸ Ὑπὲρ τοῦ ἁγιασθῆναι.. Ὑπὲρ τοῦ καταφοιτῆσαι τῷ ὕδατι τούτῳ τὴν εὐλογίαν καὶ καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν τοῦ Κ. δ. Ὑπὲρ τοῦ γενέσθαι τὸ ὕδωρ τοῦτο ἰαματικὸν καὶ σωμάτων καὶ πάσης ἀντικειμένης δυνάμεως ἀποτρεπτικὸν τοῦ κ. δ. Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ...τοῦ Ἰορδάνου τοῦ Κ. δ. Ὑπὲρ τοῦ καταπέμψαι Κν τὸν Θν ἡμῶν ἐφ' ἡμᾶς τὸ ἅγιον Πνεῦμα καὶ φωτίσαι τὰ ὄμματα τῶν ψυχῶν ἡμῶν τοῦ Κ. δ. καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων...

Ὁ Γ «ὑπὲρ τοῦ δοθῆναι αὐτῷ τὴν χάριν ..Ὑπὲρ τοῦ καταπεμφθῆναι τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸ καὶ ἁγιάσαι αὐτό. Ὑπὲρ τοῦ ἐπισκιάσαι ἐξ οὐρανοῦ τὴν χάριν τοῦ ἁγίου Πνεύματος καὶ ἁγιάσαι ἡμᾶς διὰ τοῦ ὕδατος τούτου».

Ὁ ***Δ*** «Ὑπὲρ τοῦ γενέσθαι ἰατρείαν ψυχῶν καὶ σωμάτων τοῦ Κ. δ. Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ ἐξ ἁγίων ὑψωμάτων τὴν εὐλογίαν τοῦ Ἰορδάνου τοῦ Κ. δ.»

Ὑπὲρ τοῦ δοθῆναι αὐτῷ δύναμιν Ϙ

Ἐκ τοῦ ***Δ*** ἐμφαίνεται, ὅτι ἡ αἴτησις εἶχε «γνώσεως τοῦ...» ἤτοι τοῦ Κ. δεηθῶμεν τῆς φράσεως «διὰ τῆς ὁμοουσίου Τριάδος» ἀποτελούσης πιθανώτατα μεταγενεστέραν προσθήκην.

Ὁ Ϙ «γνώσεως καὶ εὐσεβείας». διὰ τῆς ὑπερουσίου τριάδος τοῦ Κ. δ. ***Ο***.

***Δ*** Ὑπὲρ τοῦ ἀναδειχθῆναι ἡμᾶς κληρονόμους τῆς ἐπουρανίου βασιλείας τοῦ Κυρίου δεηθῶμεν. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν εὐλογήσοι καὶ ἁγιάσοι τὰ ὕδατα ταῦτα ὥς τὰ Ἰορδάνεια ῥεῖθρα τοῦ Κυρίου δεηθῶμεν. Ἀντικαπέμψοι ἡμῖν τὴν τοῦ Παναγίου Πνεύματος χάριν διὰ τῆς τοῦ ζωοποιοῦ τούτου ὕδατος μεταλήψεως τοῦ Κυρίου δεηθῶμεν.

Γ Ϙ Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἀναδείξῃ ἡμᾶς υἱοὺς καὶ κληρονόμους τῆς βασιλείας αὐτοῦ διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ τοῦ Κυρίου δεηθῶμεν.

Γ Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ τοῖς τε χριομένοις, τοῖς τε μεταλαμβάνουσιν ἐξ αὐτοῦ εἰς ἴασιν ψυχῶν καὶ σωμάτων τοῦ Κυρίου δεηθῶμεν.

Γ ***Δ*** Υ ***Η Δ Κ*** Λ ***Ψ*** Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ϙ ***Δ О*** Καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ Κυρίου βοηθείας τοῦ Κυρίου δεηθῶμεν.

Γ Δ ***Η*** Λ ***Δ*** Ϙ ***Ψ*** Υ Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς Παναγίας ἀχράντου

***Η Δ*** Γ ***О*** Ἐκφ. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις κλπ.

***Η*** Καὶ εὐθὺς τὴν εὐχὴν ταύτην

Λ Καὶ ἡ εὐχὴ ἡσυχωτέρᾳ φωνῇ. Εἰρήνη πᾶσι.

*Πραξ. ζ 59,* ***Η Δ*** Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μονογενὴς
*Ἰωαν. α 18,* Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς
*Α' Ἰωαν. ε 20* Θεός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ φῶς τὸ
*Ψαλμ. λε 10,* ἐκ φωτός, ὁ ἐλθὼν εἰς τὸν κόσμον τοῦ φωτίσαι αὐτόν,
*Α' Τιμ. ϛ 16,* καταύγασον ἡμῶν τὴν διάνοιαν τῷ ἁγίῳ σου Πνεύματι καὶ πρόσ-
*Ἰωαν. α 9* δεξαι ἡμᾶς μεγαλωσύνην καὶ εὐχαριστίαν σοι προσάγοντας ἐπὶ τοῖς
*Ἑβρ. α 3, Σοφ. Σολ. ζ 26* ἀπ' αἰῶνος θαυμασίοις σου μεγαλουργήμασι καὶ τῇ ἐπ' ἐσχάτων
*Ἰωαν. α 9* τῶν ἡμερῶν σωτηρίῳ σου οἰκονομίᾳ, ἐν ᾗ τὸ ἡμῶν ἀσθενὲς καὶ

---

Ὁ Γ συνεχίζει ὡς ἑξῆς «Ὑπὲρ τῶν καρποφορούντων. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἐξελεῖται ἡμᾶς ἀπὸ πάσης ἐπιβουλῆς καὶ ἐπηρείας τοῦ ἀντικειμένου καὶ ἀξίους ἀπεργάσηται τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν. Ὅπως Κ. ὁ Θεὸς ἀναδείξῃ...»

Οἱ ***Δ Η Κ Λ*** Λ ***Ψ*** εὐθὺς μετὰ τὴν «ὑπὲρ τοῦ φωτισθῆναι» εἰς τὴν «ὑπὲρ τοῦ ῥυσθῆναι».

Ὅπως Κύριος ὁ Θεὸς ἀναδείξῃ Γ μεταλήψεώς τε καὶ ῥαντήσεως Γ

Ὁ Λ «Ὑπὲρ πάντων τῶν χρῃζ. τῆς παρὰ σοῦ, Κύριε, βοηθείας καὶ ἀντιλήψεως δεηθῶμεν»

Ἡ ἐκφώνησις παραλείπεται ἐν ***Κ*** Λ ***Ψ*** ᾱ Υ ***Π*** ε ϙ χ

Μετὰ τὴν ἐκφώνησιν οἱ μὲν ***Η Δ*** τὴν ἀνωτέρω εὐχὴν καὶ μετ' αὐτὴν τὴν «Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστός...»

Οἱ δὲ Γ μ ***Δ*** Ϙ ***О*** ᾱ εὐθὺς μετὰ τὴν ἐκφώνησιν ἔχουσι τὴν τελευταίαν ταύτην, ἣν φαίνεται νὰ εἶχε καὶ ὁ Ι ἐν τῷ ἐλλείποντι φύλλῳ, ὡς δύναταί τις νὰ εἰκάσῃ ἐκ τοῦ περισωθέντος τέλους.

Οἱ δὲ Χ ***Κ*** Λ Υ Χ ***Ψ*** ᾱ ᾰ ᾰ̄ ᾰ̄ ᾰ́ χ ϱ μόνον τὴν Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος.

Ὁ ***Δ*** μέχρι τινὸς μόνον τὴν Κύριε ὁ Θεὸς ἡμῶν ὁ μέγας...» καὶ ὡς συνέχειαν αὐτῆς καὶ τὴν ἑτέραν Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος.

Ὁ ***Π*** σύνθεσίν τινα ἐκ τῶν δύο εὐχῶν Κύριε ὁ Θεὸς ἡμῶν ὁ μέγας τῇ βουλῇ.. καὶ Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος. Ὡσαύτως καὶ οἱ ε ἁ

πτωχὸν περιβαλλόμενος φύραμα καὶ τοῖς τῆς δουλείας μέτροις συγ-
καταβαίνων ὁ τῶν ἁπάντων βασιλεύς, ἔτι καὶ δουλικῇ χειρὶ ἐν Ἰορ-
δάνῃ βαπτισθῆναι ἠξίωσας, ἵνα τὴν τῶν ὑδάτων φύσιν ἁγιάσας ὁ
ἀναμάρτητος ὁδοποιήσῃς ἡμῖν τὴν δι᾽ ὕδατος καὶ Πνεύματος *Ἰωαν. γ 5*
ἀναγέννησιν καὶ πρὸς τὴν πρώτην ἡμᾶς ἀποκαταστήσῃς ἐλευ-
θερίαν· καὶ δεόμεθά σου, δέσποτα φιλάνθρωπε· ράνον καὶ ἐφ᾽ ἡμᾶς
τοὺς ἀναξίους ὕδωρ καθάρσιον, τῆς σῆς εὐσπλαγχνίας τὴν δωρεὰν
εἰς τὸ τὴν ἐπὶ τῷ ὕδατι τούτῳ αἴτησιν ἡμῶν τῶν ἁμαρτωλῶν εὐ-
πρόσδεκτον γενέσθαι τῇ σῇ ἀγαθότητι καὶ τὴν εὐλογίαν σου δι᾽ αὐ-
τοῦ ἡμῖν τε καὶ παντὶ τῷ πιστῷ χαρισθῆναι λαῷ· εἰς δόξαν τοῦ πα-
ναγίου καὶ προσκυνητοῦ σου ὀνόματος· Σοὶ γὰρ πρέπει πᾶσα δόξα,
τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ
καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί.

**Δ** Εἰρήνη πᾶσι. Τὰς κεφαλάς.

**Δ** Εὐχὴ τοῦ ἁγιασμοῦ **Η** ἑτέρα ἣν λέγει ἐν ἐπηκόῳ

**Δ** Εὐχὴ μεγαλοφώνως ἐν ἐπηκόῳ λεγομένη.

Q **Ο** Τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴ ἐκφωνουμένη.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς *Ψαλ. ζ 1 καὶ*
τοῖς ἔργοις, ὁ πάσης ὁρατῆς τε καὶ ἀοράτου κτίσεως δημι- *ἀλ, Ἐξοδ. λδ*
ουργός· ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός *10 Δαν. θ. 4,*
σου τοῖς ἀγαπῶσί σε καὶ τηροῦσι τὰ σὰ προστάγματα· ὁ πάν- *Σειρ. ια 10,*
των τῶν ἐν ἀνάγκαις ἐλεεινὰ προσδεχόμενος δάκρυα· διὰ γὰρ τοῦτο *Κολοσ. α 16,*
παραγέγονας ἐν δούλου μορφῇ, οὐ φάσμασιν ἡμᾶς ἐκδειματού- *Δευτ. ζ 9.*
μενος, ἀλλ᾽ ὑγείαν τῷ σώματι ἀληθῆ ὀρέγων καὶ λέγων· Ἴδε, *Ψαλ. πη 28*
ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Ἀλλὰ καὶ ἐκ πηλοῦ *Φιλιπ. β 7*
ζῶντας ὀφθαλμοὺς εἰργάσω καὶ νίψασθαι κελεύσας, τὸ φῶς οἰκῆσαι *Ἰωάν. ε 14*
παρεσκεύασας λόγῳ· ὁ τὰς τῶν ἐναντίων παθῶν σπιλάδας ταράτ-
των καὶ τὴν τοῦ βίου τούτου ἁλμυρὰν θάλασσαν καταστείλας καὶ τὰ
ἀχθηφόρα τῶν ἡδονῶν κατευνάσας κύματα· Αὐτός, φιλάνθρωπε Βα-

---

πιστῷ λαῷ χαριζόμενος Δ

Ὁ $\sigma_2$ μετὰ τὸ τῆς Παναγίας... «Καὶ λέγει τὴν εὐχὴν μεγαλοφώνως· Κύριε, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις...Καὶ βαπτίζων τὸν τίμιον σταυρόν· Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων...Καὶ ἄρχεται τροπάριον πλ. δ. Τῶν σῶν δωρεῶν.., Δόξα Χαῖρε κεχαριτωμένη...Εἶτα ἐκτενὴς καὶ ἀπόλυσις».

---

*1. θαυμαστὸς ἐν ἔργοις* **$\Sigma_8$** *2. ὁ πάσης φαινομένης καὶ νοουμένης φύσεως δημιουργὸς* **Γ** **$\Sigma_8$** *ὁ πάσης φαινομένης κτίσεως δημιουρ.* **Δ** *ὁ πάσης κτίσεως δημιουργὸς* **$\Sigma_8$** **Η** Q **Ο** *3. καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε* **Γ** **$\Sigma_8$** *4. καὶ τοῖς τηροῦσι* **Δ** **$\Sigma_8$** *5. ἐν ἀνάγκῃ* **$\Sigma_8$** *δάκρυα καὶ γὰρ διὰ τοῦτο* **Γ** *τάχα γὰρ διὰ τοῦτο* **Δ** **$\Sigma_8$** *7. ἀλλ᾽ ὑγείαν τῷ σώματι [ἀληθῆ ἐκ β᾽ χειρὸς]* **Δ** *9. ζῶντος ὀφθαλμ.* **$\Sigma_8$** *εἰργάσω καὶ τούτων νίψασθαι* **Γ** *εἰργάσω νίψασθαι* **Ο** *καὶ τοῦτον νίψασθαι* **Δ** *καὶ τούτῳ νίψασθαι* **$\Sigma_8$** **Δ** Q *οἰκήσειν παρασκευάσας* **$\Sigma_8$** *10 λόγῳ τὰς τῶν ἐναντίων* **$\Sigma_8$** **Γ** *σπιλάδας ταραττούσας* **Γ** *σπιλάδας πραΰνας* **Ο** *11. ταράττων τὴν* **$\Sigma_8$** *12. ἀχθοφόρα* **Γ** **Η** **Δ** *κατασκευάσας κύματα* **Γ** *κατασβέσας κύματα* **Δ** *Αὐτὸς οὖν φιλάνθρωπε* **$\Sigma_8$** *αὐτὸς καὶ νῦν φιλανθρ.* **Δ**

σιλεῦ, ὁ δοὺς ἡμῖν χιονοφεγγόφωτον φορέσαι στολὴν ἐξ ὕδατός τε καὶ Πνεύματος, καὶ διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ραντισμοῦ τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον, τὸν ρύπον τῶν παθῶν ἀποσμήχουσαν. Ναί, δέσποτα, δεόμεθα· ἐπίσκεψαι ἡμῶν, ἀγαθέ, τὴν ἀσθένειαν καὶ ἴασαι ἡμῶν τὰς νόσους ψυχῆς τε καὶ σώματος τῷ ἐλέει σου· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου, πατριαρχῶν Ἀλεξανδρείας· Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος καὶ Νικολάου

Ἰωάν

*1. χιονόφεγγον $\Sigma_8$ χιονοφθεγγόφωτον Γ Η ἐξ ὕδατος καὶ πνεύματος Q Δ Ο $\Sigma_8$ 2. καὶ πνεύματος ἀπόσμηξον ἡμᾶς διὰ τῆς τοῦ ὕδατος τούτου καταδύσεώς τε καὶ ραντισμοῦ τῆς σῆς εὐλογίας τοὺς ρύπους καθάραι τῶν παθῶν Γ Δ $\Sigma_8$ τῆς εὐλογίας Δ ἀπόσμηξον ἡμᾶς διὰ τῆς τῶν ὑδάτων τούτων καταδύσεώς τε καὶ ραντισμοῦ τῇ σῇ εὐλογίᾳ τοῦ ρύπου $\Sigma_8$ 3. μεταλήψεως καὶ ραντισμοῦ Η Q Δ Ο 4. τοῦ ρύπου τῶν παθῶν Δ $\Sigma_8$ Ναὶ δεόμεθα Q Ναί, δέσποτα, τὴν ταπείνωσιν ἡμῶν ἐπισκεψάμενος πρεσβείαις..Γ Δ $\Sigma_8$ Ναί, δεόμεθα ἐπίσκεψαι Q Δ φιλάνθρωπε, δέσποτα Q Δ $\Sigma_8$ Ο 5. τὴν ταπείνωσιν (ἡμῶν τῶν σῶν οἰκετῶν προσδεξάμενος ἐλέησον [ἐκ β' χειρὸς]) κατὰ τὸ μέγα σου ἔλεος. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων... [ἡ εὐχὴ λαμβάνει πέρας] Δ 6 Πρεσβείαι; καὶ ἱκεσίαις τῆς ἁγίας ἀχράντου δεσποίνης $\Sigma_8$ πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης Η Q Ο*

*7. Μαρίας τῶν τιμίων Q Μαρίας τῶν ἁγίων ἐπουρανίων δυνάμεων $\Sigma_8$ Η Ο 8. ἀσωμάτων ἀρχαγγέλων Γ δυνάμεων τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων $\Sigma_8$ τοῦ τιμίου προδρόμου Η τιμίου προφήτου Προδρ. Ο 10. τῶν ἁγίων καὶ πανευφήμων Η $\Sigma_8$ Ο ἁγίων καὶ ἐνδόξων πανευφήμων ἀποστ. Q. ἀποστόλων, τῶν ἁγίων καὶ δικαίων Ἰωακεὶμ καὶ Ἄννης, τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν ἰατρῶν καὶ ἀναργύρων Κοσμᾶ..Ἰωάννου καὶ Παντελεήμονος καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς πρεσβείαις φύλαττε $\Sigma_8$ ἀποστόλων τῶν ἁγίων καὶ Θεοφ. πατέρων ἡμῶν Ἰωάν. τοῦ Χ. Γρηγ. τοῦ Θ., Βασ. τοῦ μεγάλου, Νικολάου τοῦ θαυματουργοῦ, τῶν ἁγίων καὶ ἐνδόξων θαυματ Ἀναργύρων Γ ἀποστόλων, τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων καὶ πάντων τῶν ἁγίων σου. Καὶ φύλαττε Κύριε τοὺς δούλους σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν Η Ο ἀποστόλων τῶν ἁγίων καὶ θαυμ. Ἀναργ. Q Ο.*

Ἐν τῷ **Δ** «ψυχῆς τε καὶ σώματος τῷ ἐλέει σου. Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ἐν Τριάδι...» «Ἀναργύρων... Ἑρμολάου· τοῦ ἁγίου καὶ ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ παρθένου ἠγαπημένου ἐπιστηθίου Ἰωάννου τοῦ Θεολόγου· τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων μαρτύρων Γεωργίου, Δημητρίου, Θεοδώρου, Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου, τῶν ἁγίων ἐνδόξων καὶ ἰαματικῶν ἱερομαρτύρων Βλασίου, Ὑπατίου καὶ Χαραλάμπους· τῆς ἁγίας καὶ ἐνδόξου μεγαλομάρτυρος Θέκλης, Βαρβάρας, Μαρίνας, Εἰρήνης καὶ Ἀναστασίας καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς πρεσβείαις φύλαττε...» Γ ἄνευ τοῦ (ἐκ γ') ΓQ**Ο**$\Sigma_8$
σώματος ὑγείαν Γ

..Διομήδους, Τρύφωνος καὶ Θαλλελαίου, τοῦ ἁγίου καὶ θαυματουργοῦ Λέοντος,

Μύρων τῆς Λυκίας τῶν θαυματουργῶν· τῶν ἁγίων καὶ ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου καὶ Δημητρίου τοῦ Μυροβλύτου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Θαλλελαίου καὶ Τρύφωνος· τοῦ ἁγίου (τῆς ἡμέρας) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν ἁγίων. Καὶ φύλαττε, Κύριε, τοὺς δούλους σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν (ἐκ γ'), χάρισαι αὐτοῖς ψυχῆς καὶ σώματος τὴν ὑγείαν καὶ τῇ δουλικῇ σου ταύτῃ τῶν χριστιανῶν πολιτείᾳ ποίησον κατὰ πάντα ἐπιεικεῖς. Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς· τῶν διακονούντων ἀδελφῶν ἡμῶν, τῶν περιεστώτων καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνή-

---

τῶν ἁγίων ἑπτὰ Μακκαβαίων καὶ τῆς μητρὸς αὐτῶν Σολομόνης καὶ τοῦ διδασκάλου αὐτῶν Ἐλεαζάρου καὶ πάντων τῶν ἁγίων σου. Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου... Ω

χάρισαι αὐτοῖς κατὰ πάντα ψυχῇ τε καὶ σώματι καὶ τῶν τῆς δουλικῆς σου ταύτης τῶν χριστιανῶν πολιτείας πράγμασι (;) τὸ ὑγιές τε καὶ ἄνοσον, κατὰ πάντα εὔφημόν τε καὶ σωτήριον. Μνήσθητι Κύριε τοῦ ἀρχιεπισκ. ἡμῶν τοῦδε. Μνήσθητι Κύριε, τοῦ πρώτου ἡμῶν τοῦδε καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων... *Σ*$_8$

καὶ τοῖς δουλικοῖς ταύτης τῶν χρ. πολιτείας κατὰ πάντα εὔφημόν τε καὶ σωτήριον Γ    πολιτείᾳ κατὰ πάντα *ΗΩ*    πολιτείᾳ ἵλεως γενοῦ κατὰ πάντα *Ο* τὸν λόγον τῆς ἀληθείας *Η*    καὶ παντὸς ἱερατικοῦ τάγματος *Ο*    ἀληθείας. Μνήσθητι, Κύριε, τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Μνήσθητι, Κύρ., τοῦ περιεστῶτος λαοῦ καὶ τὸν δι' εὐλόγους... ἀπολ. ἀδελφῶν ἡμῶν. Μνήσθητι, Κ., τῶν ἐν ἀσθενείαις κατακειμένων ἀδελφῶν ἡμῶν καὶ ἀνάρυσαι αὐτοὺς καὶ ἐπίσκεψαι καὶ ἐλέησον καὶ ἴασαι αὐτοὺς κατὰ τὸ μέγα σου ἔλεος. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς **Γ** σωτηρίας αὐτῶν καὶ τῶν ἀγαπώντων Ω    καὶ τῶν διακονούντων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ τῶν περιεστ. Ω    ἀναξίοις αὐτῶν ὑπερεύχεσθαι *ΗΩΟ* Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν *Ο*    Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σωτὴρ καὶ σοὶ τὴν δόξαν *ΗΩ*

Ἐν τῷ Ι ἡ μετὰ τὸ ἐλλεῖπον φύλλον σελὶς ἄρχεται «καὶ ἀνάρρυσαι αὐτοὺς καὶ ἐπίσκεψαι καὶ ἴασαι πάντας κατὰ τὸ μέγα σου ἔλεος. Καὶ βαπτίζων τὸν σταυρὸν ἐκφωνεῖ Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων...»

τάγματος καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τοῦ δούλου σου τοῦδε. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων. Μνήσθ. Κύρ. τῶν μισούντων... διακονούντων ἀδελφῶν ἡμῶν. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχ. τὸ παρὰ σοῦ πλούσιον ἔλεος καὶ τῶν δι' εὐλόγους... ἀπολειφθ. ἀδελφῶν ἡμῶν καὶ τῶν ἐντειλαμένων *Λ*

τῶν καρποφορούντων καὶ καλλ. ἐν τῷ ἁγίῳ οἴκῳ τούτῳ καὶ μεμνημ. τῶν πενήτων. Μνήσθητι, Κύριε, ὁ Θεὸς ἡμῶν, περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν καὶ ἐλέησον καὶ ἐπίσκεψαι, καὶ ἴασαι πάντας κατὰ τὸ μέγα σου ἔλεος. Ὅτι σὺ εἶ ἡ πηγή... *Σ*$_8$

σθητι, Κύριε, τῶν ἐν αἰχμαλωσίᾳ καὶ θλίψεσιν ἀδελφῶν ἡμῶν, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς κατὰ τὸ μέγα σου ἔλεος, πάσης ἀνάγκης ῥυόμενος.

Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Χριστέ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Ἀντὶ τῆς ἀνωτέρω εὐχῆς οἱ **Κ** Λ **Ψ** υ ἔχουσι τὴν κατωτέρω τοῦ **Δ** συνδυάζοντος ἀμφοτέρας].

**Κ** Λ Καὶ εὐθὺς ἄρχεται τῶν εὐχῶν ὁ ἱερεὺς μεγαλοφώνως. **Ψ** Εἶτα τὴν εὐχήν·

Λ **Ψ** Τοῦ Κυρίου δεηθῶμεν.

**Κ Δ** Λ **Ψ** Υ Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ἡ προαιώνιος φύσις, ἡ ὑπερούσιος καὶ ἀτελεύτητος μεγαλειότης, ἡ ἀνεξιχνίαστος δύναμις, ἡ ἄρρητος ἐξουσία, ἡ τῆς σοφίας πηγή, τὸ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστον πέλαγος. Σύ, φιλάνθρωπε δέσποτα, ὁ τῶν προαιώνων θαυμασίων Θεός, ὃν οὔτε ἔννοια καταλαβέσθαι δύναται, οὔτε λόγος ἑρμηνεῦσαι ἰσχύει, ἐπίβλεψον καὶ τανῦν ἐφ' ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ δὸς ἐν τῇ διανοίᾳ ἡμῶν, πνεῦμα σοφίας καὶ συνέσεως, ἄξιον τοῦ εἰς τὰ ὦτα φθάσαι τῆς σῆς ἀγαθότητος καὶ τὸν ἔλεον ἐπισπάσασθαι τῆς σῆς χάριτος, ἐκ σοῦ γὰρ καὶ τῆς σῆς ζωοποιοῦ δωρεᾶς καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς κατὰ τὸ θέλημα τὸ σὸν καὶ τῆς εὐδοκίας τοῖς ἀνθρώποις ὑπάρχει. Καὶ κατάπεμψον ἡμῖν τὴν σὴν εὐλογίαν καὶ τῶν ἰαμάτων τὴν χάριν ἐπὶ τὸ ὕδωρ τοῦτο, ὁ τὸ λουτρὸν τῆς παλιγγενεσίας τῷ γένει ἡμῶν δωρησάμενος πρὸς ἀπόνιψιν τῶν τῆς ἁμαρτίας μολυσμῶν καὶ ἀνάκτησιν τῶν ἐπισυμβαινόντων ἡμῖν παντοίων ἀρρωστημάτων καὶ

Ἡσ. λ… Ψαλμ. Δαν. Γεν. ιδ … Σειρ. Ἡσ. Φιλιπ. Τίτ.

Ἐν τῷ α̅ εὐθὺς μετὰ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ... ἡ εὐχὴ Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν ὁ τὸ πικρὸν ὕδωρ... (περὶ ἧς καὶ κατωτέρω). Καὶ μετ' αὐτὴν τὴν εὐχὴν Κλῖνον, Κε...

*1. Ὁ Θεὸς ὁ μέγας ὁ ὕψιστος **Κ Ψ** Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ Θεὸς Λ ἁγία ὑμνούμενος Υ 2. φύσις καὶ ἀτελεύτητος **Δ** ὑπερούσιος καὶ ἀκατάληπτος καὶ ἀτελεύτητος Λ. 3. δύναμις ἡ ἀόρατος ἐξουσία **Ψ** δύναμις καὶ ἄρρητος **Δ** 4. πηγὴ καὶ τῆς ἀγαθότητος ἄβυσσος τὸ τῆς εὐσπλαγχνίας ἀπεριόριστον πέλαγος **Λ** 5. δέσποτα τῶν ἁπάντων ὁ τῶν Λ ὃν οὔτε νοῦς οὔτε ἔννοια Λ 6. ἰσχύσει Λ 7. ἐφ' ἡμᾶς τοὺς ταπεινοὺς Λ **Δ**. 8. σοφίας καὶ γνώσεως ἄξιον **Δ** 10. ἔλεον τὸν σὸν ἐπισπ. χάριτος Λ*

*11. τῆς ζωοποιοῦ χάριτι δωρεᾶς **Δ**.*

*11. καὶ τὸ ἐνεργεῖν κατὰ τὸ θέλημα τὸ σὸν καὶ τῆς σῆς εὐδοκίας τοῖς ἀνθρώποις ὑπάρχει + [ὁ σταυρὸς ἴσως ἐκ β' χειρὸς] καὶ κατάπεμψον **Κ** θέλειν ὑπάρχει καὶ τὸ ἐνεργεῖν κατὰ τὸ σὸν θέλημα καὶ τὴν σὴν εὐδοκίαν. Διὸ κατάπεμψον **Δ** 12 τῆς σῆς εὐδοκίας Υ*

*14. ἐπὶ τῷ ὕδατι τούτῳ **Δ** ἐπὶ τὸ ὕδωρ τοῦτο + (καὶ ἐν τῇ φᾳ Γ̅ ἐκ β' χειρὸς) Υ ὁ τῷ λουτρῷ τῆς **Κ Ψ** Υ 15. τῷ γένει τῶν ἀνθρώπων ἡμῖν χαρισάμενος **Λ** χαρισάμενος **Ψ** τοῦ τῆς ἁμαρτίας μολυσμοῦ **Λ** 16. καὶ ἀνάκλησιν τῶν ἐπισυμβάντων **Δ** καὶ ἀνακαίνησιν τῶν ἐπισυμβαινόντων **Δ***

καταξίωσον ἡμᾶς, ἐρραντισμένους τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένους τὸ σῶμα ὕδατι καθαρῷ, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφορεῖν καὶ αὐξάνεσθαι καὶ τὴν εἰς τοὺς δεομένους συμπάθειαν ἀόκνῳ σπουδῇ πρὸς θεραπείαν τῶν πεπονηκότων ἀδελφῶν ἡμῶν διὰ παντὸς ἐπιδείκνυσθαι, καὶ τῆς σῆς εὐσπλαγχνίας καταξιοῦσθαι τῶν τε ψυχικῶν ἀρρωστημάτων καὶ τῶν σωματικῶν ἀλγηδόνων τὴν ἀπολύτρωσιν κομιζομένοις καὶ κατάπεμψον ἡμῖν τὰ τῆς σῆς φιλανθρώπου δωρεᾶς ἰάματα ἐν τῷ παρόντι ὕδατι, οὐ πρὸς ἡδονὴν σαρκός, ἀλλὰ πρὸς ἴασιν ψυχῆς τε καὶ σώματος ἡ ἐπιτελουμένη παρ' ἡμῶν λατρεία πνευματική. Ναί, δέσποτα, τῇ ταπεινώσει ἡμῶν ἐπικαμπτόμενος, ὁ δοὺς ἡμῖν τὴν χιονοφεγγῆ ταύτην φορέσαι στολὴν ἐξ ὕδατός τε καὶ Πνεύματος, [καὶ διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ραντισμοῦ τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον, τοὺς ρύπους τῶν παθῶν ἀποσμήχουσαν]. Πρεσβείαις καὶ ἱκεσίαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ 'Ιωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων καὶ θαυματουργῶν 'Αναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ 'Ιωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους καὶ Θαλλελαίου· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ

'Εβρ. ι 22
Κολοσ. α 10
Ρωμ. ιβ 11
'Ιωαν. γ 5

---

*2. πονηρᾶς λελουμένους* **Δ Κ** *τῷ σώματι ὕδατι* Λ **Δ Κ Ψ**

*3. ἔργῳ καὶ λόγῳ ἀγαθῷ* **Δ** *4. δεομένους γινομένην παντοίαν συμπάθειαν* **Δ** *6. ἐπιδείκνυσθαι τῶν τε ψυχικῶν* Υ *εὐσπλαγχνίας διὰ παντὸς καταξ.* Λ *τῶν τε ψυχικῶν ἀλγηδόνων καὶ τῶν σωματ. ἀρρωστημάτων τὴν* **Ψ** *7. σωματ. ἀλγημάτων* **Δ** *ἀπολύτρωσιν κομισάμενος* **Δ**

*8. τὰ τῆς φιλανθ. σου δωρεᾶς* **Κ** *9. ὕδατι τούτῳ* **Δ** *οὐ γὰρ πρὸς ἡδονὴν* **Ψ** *σαρκὸς καὶ αἵματος* Υ *10. ψυχῆς καὶ σώματος* **Κ Ψ** Λ Υ *ψυχῶν τε καὶ σωμάτων ἐπὶ τῇ εἰς σὲ τὸν Θεὸν ἡμῶν πίστει ἐπιτελουμένη παρ' ἡμῶν πνευμ. λατρεία τῇ μεσιτείᾳ καὶ ἱκεσίᾳ τῆς παναγίας, ἀχράντου..,* **Δ** *σώματος ἐπιτελουμένη* **Ψ** *11. τὴν ταπείνωσιν* **Ψ** Υ *12. ἐξ ὕδατος καὶ Πνεύματος* **Κ** *καὶ Πνεύματος ἀπόσμηξον διὰ τοῦ ὕδατος τούτου καὶ τοῖς ραντίσμασι τῆς σῆς εὐλογίας τοὺς ρύπους τῶν παθῶν ἡμῖν (ἡμῶν* **Ψ** Λ Υ) *ἀποκάθαρον πρεσβείαις..* **Κ** Λ **Ψ** Υ *διὰ τοῦ ὕδατος τούτου τοὺς ρύπους* Λ *15—16 καὶ ἱκεσίᾳ τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν...Μαρίας, τῶν ἁγίων ἐπουρανίων, ἀΰλων δυνάμεων* **Δ** *Μαρίας, προστασίαις τῶν τιμίων* Λ *τιμίων καὶ ἐπουρανίων δυνάμεων* Υ *17. τοῦ τιμίου προφήτου προδρόμου* **Κ** *18—19 ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ἁγίων καὶ θαυματουργῶν..* Υ *ἀποστόλων, τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ θαυματουργῶν 'Αναργύρων...Διομήδους Θαλλελαίου καὶ Τρύφωνος καὶ πάντων σου τῶν ἁγίων ὧν ταῖς πρεσβείαις* **Δ** *Μωκίου καὶ Θαλλελαίου* Υ
*Θαλλελαίου· τοῦ ἐν ἁγίοις πατρὸς...Νικολάου καὶ Συμεὼν* **Ψ Κ** Υ *τῶν ἁγίων μαρτύρων Μακκαβ.* **Ψ Κ** *Μακκαβ. τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν 'Αθανασίου καὶ πάντων τῶν ἁγίων* **Ψ Κ** *πρεσβείαις Κύριε σῶσον τοὺς δούλους σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν. Χάρισαι αὐτοῖς κατὰ πάντα ψυχῆς τε καὶ σώματος ὑγείαν [ἴδε συνέχειαν ἐν τῇ προηγουμ. εὐχῇ, εἰς ἣν καὶ αὖθις ἐπανέρχεται]* **Δ** *πρεσβείαις φύλαττε, Κύριε, τοὺς ὀρθοδόξους πάντας χριστιανούς, ὑπόταξον αὐτοῖς* **Κ** *Κύριε παντὸς ἱερατικοῦ* **Ψ** Υ *ποίμνῃ καὶ πολιτείᾳ τὸ ὑγιὲς καὶ ἄνοσον καὶ κατὰ πάντα εὔθυμόν τε καὶ σωτήριον καὶ πάντα ἐπιεικεῖς* **Δ**

οἰκουμενικῶν διδασκάλων καὶ ἱεραρχῶν Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου· Συμεὼν τοῦ ἐν Μάνδρᾳ· τῶν ἁγίων Μακκαβαίων· τοῦ ἁγίου τῆς Μονῆς· καὶ πάντων τῶν ἁγίων ὧν ταῖς πρεσβείαις φύλαττε, Κύριε τοὺς δούλους σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν (Γ'). Ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα. Χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Μνήσθητι, Κύριε, καὶ παντὸς ἱερατικοῦ τάγματος. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων καὶ ἐπισκέψαι πάντας καὶ ἴασαι κατὰ τὸ μέγα σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί...

***Π*** Υ Γ ***Η Ω Κ*** Λ ***Δ Ψ*** Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν.

Υ ***Η*** Ω Εὐχή, ἣν λέγει μυστικῶς.

Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον, ἡμῶν *Ψαλμ* ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν κ.λ.π.

---

*ἀληθείας. Μνήσθητι Κύριε τοῦ ἐπισκόπου ἡμῶν (δεῖνα) καὶ παντὸς ἱερατικοῦ...* ***Δ*** *[ἴδε συνέχειαν ἐν τῇ προηγ. εὐχῇ] ἀδελφῶν ἡμῶν. Μνήσθητι, Κύριε, παντὸς μοναχικοῦ τάγματος· Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων* ***Κ Ψ*** *Υ*

*16. συμπαντα, Χριστὲ ὁ Θεος* ***Κ Ψ*** *συν τῳ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου* ***Κ Ψ*** *19 τὰς κεφαλὰς ἡμῶν Ω 21. ἐπάκουσόν μου* ***Κ*** *22. τὰ ὕδατα εὐλόγησον* ***Η Κ Δ*** *Ω Λ* ***Ψ*** *Υ τὸ ὕδωρ τοῦτο εὐλόγησον* ***Ο*** *23. καταξίωσον πάντας ἡμᾶς Λ 26. μεταλήψεως καὶ γενέσθω* ***Η Κ*** *Ω* ***Δ Ψ Ο*** *ψυχῆς καὶ σώματος* ***Η Κ*** *Λ* ***Ο*** *28 Ἐκφών.* ***Γ Ο*** *ὁ ἁγιασμός, ὁ ἱλασμὸς καὶ ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν Λ ὁ ἁγιασμὸς ἡμῶν Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοί... Λ* ***Κ Ψ*** *ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν Υ Ω* ***Ο*** *Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς Υ*

---

Ἐν τοῖς ***Δ Ι*** ἐλλείπει ὅλως ἡ εὐχὴ αὐτή. Εὐθὺς μετὰ τὴν ἐκφώνησιν "Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων «Καὶ εἶθ' οὕτω βαλλὼν τὸν σταυρὸν ψάλλει τῶν σῶν δωρεῶν» ***Δ***. Ἐν τῷ Ι ἡ ἐμβάπτισις τοῦ σταυροῦ κατὰ τὴν ἐκφώνησιν «Καὶ λέγε τροπυρ. Ἦχ. πλ. δ'. Τῶν σῶν δωρεῶν».

***Η Ω Ο*** Εἶτα λαβὼν τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν εὐλογεῖ τὰ ὕδατα ἐκ γ' κατάγων αὐτὸν ὄρθιον καὶ ψάλλων τροπάριον καὶ αὐτὸ ἐκ γ' εἰς ἦχον β'.

Τῶν σῶν δωρεῶν, ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου ἄχραντε.

---

Ὁ Γ ἀντὶ τῆς ἀνωτέρω εὐχῆς τὴν ἑπομένην (ἣν οἱ Β Κ ***Λ*** ἔχουσι μετὰ τὴν τελευταίαν εὐχὴν τοῦ Μεγάλου ἁγιασμοῦ ὑπὸ τὴν ἐπιγραφὴν Εὐχὴ λεγομένη ἐν τῇ φιάλῃ):

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν ὁ τὸ πικρὸν ὕδωρ τὸ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτητα μεταποιήσας καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας καὶ τὰ Ἰορδάνεια ρεῖθρα ἁγιάσας τῷ Πνεύματί σου τῷ ἁγίῳ, Αὐτὸς καὶ νῦν, δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ ποίησον αὐτὸ γενέσθαι πᾶσι τοῖς ἀρυομένοις καὶ τοῖς μεταλαμβάνουσιν ἐξ αὐτῆς εὐλογίας πηγήν, ἰατρεῖον παθῶν, ἁγιασμὸν οἴκου, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀοράτου ἀλεξιτήριον. Ἐκφών. Σὺ γὰρ εἶ ὁ ἁγιασμός.

Μετὰ τὴν ἐκφώνησιν ὁ Γ «Εἶτα βαπτίζει τὸν τίμιον σταυρὸν καὶ ἐκφωνεῖ λέγων Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τήν. Ραντιζομένων πάντων ἐκ τοῦ ὕδατος ψάλλομεν τὰ τροπ. ταῦτα· Τῶν σῶν δωρεῶν. Ἐκ παντοίων κινδύνων. Καὶ ἀπολύει». Ὁ ***Λ*** «Καὶ εὐθὺς ὁ ἱερεὺς λαβὼν τὸν τίμιον σταυρὸν εὐλογεῖ τὸ ὕδωρ τοῦ λουτῆρος ἐκ τρίτου λέγων Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, κατάγων αὐτόν...». Οἱ Υ ***Κ Ψ*** «Καὶ εὐλογῶν τὰ ὕδατα σταυροειδῶς κατάγων...λέγει μεθ' ἡμῶν ὁ ἱερεὺς Σῶσον, Κύριε τὸν λαόν σου..»

Οἱ Υ Ρ μετὰ τὸ Σῶσον τὸ Τῶν σῶν δωρεῶν καὶ τὸ Πηγὴν ἰαμάτων... Νεῦσον παρακλήσεσι...Ἐκτενὴ καὶ ἀπόλυσις.

Ὁ ᾱ «Εἶτα λαβὼν τὸν σταυρὸν ἐπὶ χεῖρας μετὰ καὶ βασιλικῶν κλάδων...ψάλλων τὸ τροπάριον Σῶσον, Κύριε...ἐκ τρίτου εἰς τὰς ἀναδύσεις καὶ καταδύσεις. Καὶ οὕτως ἵσταται ραντίζων τὸν τίμιον σταυρὸν ὅτε ὁ ἱερεὺς καὶ πᾶς ὁ λαὸς ραντιζόμενοι. Καὶ ψάλλομεν τὰ τροπάρια ταῦτα τῶν σῶν δωρεῶν...Πηγὴν ἰαμάτων... Νεῦσον παρακλήσεσι...Καὶ ἕτερα Θεοτοκία τὰ δογματικὰ τῶν ὀκτὼ ἤχων, ἕως οὗ ἁγιασθῇ ὁ λαός..» Τὰ αὐτὰ περίπου καὶ ὁ ᾱ, μόνον δὲ παραλείπων τὸ Νεῦσον ἐπάγει μετὰ τὸ Πηγὴν ἰαμάτων «Εἶτα λέγομεν Θεοτοκία τὰ ἀναστάσιμα κατ' ἦχον μέχρι τῆς ἀπορραντίσεως δηλονότι». Τὰ αὐτὰ περίπου καὶ ὁ ᾱ ὅστις μετὰ τὸ Νεῦσον «Εἶτα τὴν παγκόσμιον δόξαν καὶ τὰ λοιπὰ δογματικὰ Θεοτοκία κατ' ἦχον ἕως οὗ..»

Καὶ οἱ ᾱ ά «...ψάλλομεν τὸ παρὸν τροπάριον Ἦχος α' Σῶσον Κύριε ἐκ γ'. Ὡσαύτως καὶ οἱ χοροὶ ψάλλουσι τοῦτο ἐκ Γου. Ὁ δὲ ἱερεὺς ραντίζει τὸν λαόν.. Τῶν σῶν δωρεῶν...Πηγὴν ἰαμάτων...Νεῦσον»

Ὁ χ κατὰ τὴν κατάδυσιν τὸ Σῶσον Κύριε...Καὶ ραντίζοντος τοῦ ἱερέως τὸν λαόν, ψάλλονται τὰ τροπάρια ταῦτα Τῶν σῶν δωρεῶν... Πηγὴν ἰαμάτων... Τοῦτο πολλάκις μέχρι τῆς ἀπορραντίσεως. Δόξα καὶ νῦν Νεῦσον.. Καὶ εἰ πολὺς ἐστὶν ὁ

---

*1. ὕδωρ ἐπὶ Β 2. εἰς γλυκὺ Β Κ 3. ἁγιάσας τῇ ἀχράντῳ σου ἐπιφανείᾳ Β Κ **Λ** 4. καὶ τὸ ὕδωρ **Λ** 5. τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ Β Κ **Λ** ἰατρείαν Β Κ **Λ** 6. οἴκων Β Κ **Λ** 7. Ἐκφών. Ὅτι σὸν τὸ κράτος Β Κ **Λ**.*

***Η Ω Δ*** Εἶτα ἀσπάζεται ὁ ἱερεὺς τὸν τίμιον σταυρόν, ὡσαύτως καὶ πᾶς ὁ λαός. Εἶθ' οὕτω ραντίζει πάντα τὸν λαὸν καὶ τὴν μονὴν μετὰ τοῦ ἁγιάσματος. Ψάλλονται τροπάρια Ἦχος δ'

Πηγὴν ἰαμάτων ἔχοντες, ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες, παρὰ τῆς ἀεννάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ. Φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν ἀποστόλων· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Διὸ τοῖς προστάγμασιν αὐτοῦ καλῶς πολιτευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν καὶ τῶν σωματων ἡμῶν.

***Ο*** Δόξα καὶ νῦν.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν δέσποινα, σὲ προσκαλούμενοι.

---

λαὸς ψάλλομεν καὶ ἐκ τῶν στιχηρῶν τῆς ὀκτωήχου. Εἰσερχόμενοι δὲ ἔν τῷ ναῷ ψάλλομεν τὸ Ἄξιόν ἐστιν. Εἶτα γίνεται ἐκτενής...

Κατὰ τοὺς ***Κ Ψ*** Λ, κατὰ μὲν τὴν ἐμβάπτισιν τοῦ σταυροῦ ψάλλει τὸ Σῶσον· τὸ τροπάριον δὲ τοῦτο μετὰ τοῦ ἑπομένου «..καὶ ραντίζων τὸν λαὸν ψάλλομεν ἡμεῖς...».

Παραλείπουσι τὸ τροπάριον Πηγὴν οἱ Γ Ι. Καὶ ὁ μὲν Γ ἀντ' αὐτοῦ ἔχει τὸ Ἐκ παντοίων κινδύνων. Ὁ δὲ Ι τὸ «Χαῖρε κεχαριτωμένη, Θεοτόκε παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων. Ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ λυτρωτὴς τοῦ κόσμου. Μόνη ὑπάρχεις ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη. Πρέσβευε Χριστῷ τῷ Θεῷ εἰρήνην δωρήσασθαι πάσῃ τῇ οἰκουμένῃ».

Ὁ ***Κ*** μόνον τὸ Νεῦσον. Καὶ εὐθὺς μετ' αὐτὸ σημειοῖ «Τοῦτο πολλάκις λέγεται μέχρι δηλονότι τῆς ἀπορραντίσεως».

Οἱ ***Δ*** Ω Καὶ νῦν (ἀντὶ τοῦ Νεῦσον παραλειπομένου) Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὰ τροπάρια ταῦτα «Εἶτα ἐκτενὴ καὶ ἀπόλυσις» ***Κ*** Ι Ω Λ. Ὁ ***Ψ*** μετὰ τὸ Νεῦσον «Καὶ οὕτως ἀπόλυσις» ἄνευ τοῦ ἐκτενῆ. Ὁ ***Δ*** μετὰ τὸ Ἐκ παντοίων «Καὶ ποιεῖ εὐχὴν καὶ ἀπόλυσιν». Ὁ Ω «Ἐκτενὴς καὶ ἀπόλυσις. Εἰ δὲ βούλει μετὰ τὴν συνήθη ἅπασαν ἐκτενῆ λέγε. Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι...»

Οἱ ***Ο*** e ᾱ χ «Εἶτα Ἐλέησον ἡμᾶς ὁ Θεὸς καὶ τὰ λοιπὰ συνήθη τῆς ἐκτενῆς. Εἶτα λέγει Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι...Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ σωτὴρ ἡμῶν... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ λέγεται ἡ εὐχὴ Δέσποτα Πολυέλεε Κύριε ὁ Θεὸς ἡμῶν. Καὶ γίνεται ἀπόλυσις». Ὡσαύτως καὶ ὁ ᾱ μὲ μόνην τὴν προσθήκην μετὰ τὸ Ἐπάκουσον.. «Τινὲς δὲ λέγουσι το Δέσποτα πολυέλεε ...» Ὁ χ ὅμως μετὰ τὸ πέρας τῆς εὐχῆς Δέσποτα πολυέλεε... ἐλέησον καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Αὕτη ἐστὶν ἡ ἀπόλυσις τοῦ ἁγιασμοῦ.

Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Δ* Καὶ εὐθὺς ὁ ἱερεὺς λέγει τὴν ἐκτενῆ.

*Π* ε *Δ ᾶ Ν* χ *ᾶ* Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτῶν καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον τοῦ συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, εἴπωμεν.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ πάσης ἐπισκοπῆς ὀρθοδόξων, ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν εἴπωμεν.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν (δεῖνος) ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν πρωτοϊερέων, ἱερέων, ἱερομονάχων, ὑποδιακόνων, ἀναγνωστῶν καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν ὀρθοδόξων χριστιανῶν, τῶν καρποφορούντων, καλλιεργούντων, συμψαλλόντων, διακονούντων καὶ διακονησάντων ἡμῖν ἐν τῷ ἁγίῳ πανσέπτῳ ναῷ τούτῳ ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν θλιβομένων καὶ ἀρρωστούντων καὶ τοῦ ἐλέους Κυρίου ἐπιδεομένων καὶ ὑπὲρ τοῦ λυτρωθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κινδύνου, πειρασμοῦ καὶ ἐπαναστάσεως ἐθνῶν καὶ ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου, εἴπωμεν.

*Δ* Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι

---

Ὁ *Η* Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων. Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν. Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ..ἀλλοφύλων. Κύριε ἐλέησον μ΄. Ἐπάκουσον ἡμῶν ὁ Θεός. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν πρεσβείαις.. Καὶ λέγει ἀπόλυσιν.

Ὁ *Ν* Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὸ κράτος τῆς ἁγίας βασιλείας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου. Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην καὶ πᾶσαν...

---

Οἱ *ᾶ ᾶ* μετὰ τὸ «..ἐπικειμένης ἡμῖν δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς τὸ Κύριε ἐλέησον μ΄

Ὁ *ᾶ* μετ' αὐτὴν «Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ ἐπομβρίσαι τῇ γῇ ὑετὸν ἀγαθότητος. Ἐπάκουσον ἡμῶν...»

τὸν φιλάνθρωπον Θεὸν ἡμῶν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, τοῦ ἐλεῆσαι ἡμᾶς καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, εἴπωμεν.

**Δ** Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν ἀσθενείαις καμνόντων καὶ ὑπὲρ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν, εἴπωμεν.

**Δ** Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν ἐξορίαις καὶ αἰχμαλωσίαις κακουχουμένων χριστιανῶν ἀδελφῶν ἡμῶν καὶ τοῦ ἵλεων αὐτοῖς ἐπὶ σωτηρίῳ ἀνακλήσει γενέσθαι τὸν φιλάνθρωπον Θεὸν ἡμῶν, εἴπωμεν.

**Δ** Ἔτι δεόμεθα ὑπὲρ τοῦ ρυσθῆναι τὴν νῆσον ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου, καὶ ὑπὲρ τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι Κύριον τὸν Θεὸν πᾶσαν ὀργὴν πονηρὰν τὴν καθ' ἡμῶν κινουμένην καὶ ἐλεῆσαι ἡμᾶς, εἴπωμεν.

**Δ** Ἔτι δεόμεθα ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς τῆς αἰωνίου τῶν ἁμαρτωλῶν κολάσεως καὶ ὑπὲρ τοῦ καταξιωθῆναι τῆς τῶν οὐρανῶν βασιλείας, εἴπωμεν.

**Δ** Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (δεῖνος) ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν αὐτοῦ ἁμαρτιῶν, εἴπωμεν.

**Δ Π** Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον ἔλεος, εἴπωμεν.

**Π** Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κν τὸν Θν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

**ἃ Π Ν Ο** Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν. Καὶ ἵλεως, ἵλεως γενοῦ (ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν...**Π**).

**Η Ν** Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν

**Ν** Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν εἰς ἐπήκοον πάντων.

**ἃ Ν** χ ἃ Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν,

---

Οἱ **Π Ν Ο** ἃ ἃ συνεχίζουσι: «...πολέμου. Καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν (τὴν καθ' ἡμῶν κινουμ. **Π**) κινουμένην καθ' ἡμῶν καὶ ρύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης (ἡμῖν **Π**) δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς (καὶ ὑπὲρ τοῦ ἐπομβρῆσαι τῇ γῇ ὑετὸν ἀγαθότητος ἃ Ν) Καὶ ὁ λαὸς τὸ Κύριε ἐλέησον. Ἐπάκουσον ἡμῶν...»

---

Ὁ **Δ** Εὐθὺς μετὰ τὰς ἀνωτέρω αἰτήσεις «Ἐκφών. Ὅτι ἐλεήμων. Καὶ εὐθὺς ποιεῖ ἀπόλυσιν». Οἱ **Η Ν Π** ἃ ἃ παρεμβάλλουσι τὸ Ἐπάκουσον ἡμῶν ὁ Θεός. Ὁ χ μετὰ τὸ Νεῦσον.. Δέσποινα πρόσδεξαι. Ἐλέησον ἡμᾶς ὁ Θς. Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι. Ἐπάκουσον ἡμῶν ὁ Θεὸς Εἰρήνη πᾶσι.. Δέσποτα πολυέλεε...

πρεσβείαις τῆς Παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, τῶν τιμίων, ἐπουρανίων, θείων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καλλινίκων μαρτύρων, τῶν δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων σου τῶν ἁγίων, εὐπρόσδεκτον ποίησον...

χ τὴν δέησιν ἡμῶν, σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε· ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δ Καὶ εὐθὺς ποιεῖ ἀπόλυσιν.

Δ Σοφία. Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Δόξα σοι Χριστέ, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Δ Καὶ ἡ ἀπόλυσις:

Δ Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων, ἀΰλων, νοερῶν, θείων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.